ΠΕ. *ἥκεις δὲ ποίαν προστιθεὶς σπουδὴν λόγου;*
ΑΓΓ. *Βάκχας ποτνιάδας εἰσιδών, αἳ τῆσδε γῆς*
οἴστροισι λευκὸν κῶλον ἐξηκόντισαν,

648. *πόθεν* 'woher?' im Sinne 'wie kommt das? wie geht das zu?'

650. *τοὺς λόγους*: vgl. 775, Soph. O. T. 526 *ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγοι.*

652. *ὠνείδισας* (der Aor. von den vorhergehenden Worten vgl. *ἐσεῖδον* 609) *καλόν* (ein Oxymoron) gibt den Sinn: 'damit sagst du einmal von Dionysos nicht etwas schimpfliches, sondern etwas rühmliches aus'. Vgl. Iph. A. 305 *καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας* (der Vorwurf heisst: *λίαν δεσπόταισι πιστὸς εἶ*), Hel. 135 *Ἑλένης αἰσχρὸν κλέος* und zu Med. 514.

653. Wie die Unterbrechung der Stichomythie, so zeigt auch der Sinn eine Lücke an. Es kann ein Gedanke fehlen wie *καλῶν μὲν οὖν τήνδ' ἦλθε τὴν πόλιν πλέως*. Die Erwähnung, dass der Gott sich in der Stadt befinde, veranlasst den Pentheus den folgenden Befehl zu geben.

655. Vgl. Androm. 245 *σοφὴ σοφὴ σύ· κατθανεῖν δ' ὅμως σε δεῖ*, Alc. 1093 *αἰνῶ μὲν αἰνῶ, μωρίαν δ' ὀφλισκάνεις*, unten 971.

657. *ἀκούσας* (nicht *ἀκούων*) Gehör schenkend, das Eintreten der Handlung bezeichnend.

660—786 vierte Scene: ein Hirte vom Kithäron kommend tritt (links) auf.

662. *ἐξαυγής, λαμπρός*. Vgl. Rhes. 304 *πώλων .. χιόνος ἐξαυγεστέρων.*

663. *ποίαν σπουδὴν λόγου* (s. v. a. *ποίου λόγου σπουδήν*) *προστιθεὶς* scil. *σεαυτῷ*. Vgl. Soph. Ant. 719 *γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου πρόσεστι*, 243 *τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν*. Der Sinn ist: 'was für eine Mittheilung versetzt dich so in Eifer'.

664. *ποτνιάδες· αἱ Βάκχαι· ἀντὶ τοῦ μαινάδες καὶ λυσσάδες*. Hesych. Vgl. Or. 317 *δρομάδες ὦ πτεροφόροι ποτνιάδες θεαί, ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν δάκρυσι καὶ γόοις μελάγχρωτες Εὐμενίδες.*

665. *οἴστροισι*: vgl. 32. — *λευκὸν κῶλον*: *ratio epitheti videtur esse, quod Bacchae nudis pedibus plerumque*

ἥκω φράσαι σοὶ καὶ πόλει χρῄζων, ἄναξ,
ὡς δεινὰ δρῶσι θαυμάτων τε κρείσσονα.
θέλω δ' ἀκοῦσαι, πότερά σοι παρρησίᾳ
φράσω τὰ κεῖθεν ἢ λόγον στειλώμεθα·
τὸ γὰρ τάχος σου τῶν φρενῶν δέδοικ', ἄναξ,
καὶ τοὐξύθυμον καὶ τὸ βασιλικὸν λίαν.
ΠΕ. λέγ', ὡς ἀθῷος ἐξ ἐμοῦ πάντως ἔσει·
[τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών·]
ὅσῳ δ' ἂν εἴπῃς δεινότερα Βακχῶν πέρι,
τοσῷδε μᾶλλον τὸν ὑποθέντα τὰς τέχνας
γυναιξὶ τόνδε τῇ δίκῃ προσθήσομεν.
ΑΓΓ. ἀγελαῖα μὲν βοσκήματ' ἄρτι πρὸς λέπας
μόσχων ὑπεξήκριζον, ἡνίχ' ἥλιος
ἀκτῖνας ἐξίησι θερμαίνων χθόνα·
ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν,
ὧν ἦρχ' ἑνὸς μὲν Αὐτονόη, τοῦ δευτέρου
μήτηρ Ἀγαύη σή, τρίτου δ' Ἰνὼ χοροῦ.
ηὗδον δὲ πᾶσαι σώμασιν παρειμέναι,
αἳ μὲν πρὸς ἐλάτης νῶτ' ἐρείσασαι φόβην,
αἳ δ' ἐν δρυὸς φύλλοισι πρὸς πέδῳ κάρα
εἰκῇ βαλοῦσαι σωφρόνως, οὐχ ὡς σὺ φῂς
ᾠνωμένας κρατῆρι καὶ λωτοῦ ψόφῳ

vel semper incederent (Musgrave). Vgl. 863 λευκὸν πόδα, Cycl. 72 Βάκχαις σὺν λευκόποσιν und zu 457. Τῆσδε γῆς wie unten 1043 τῆσδε Θηβαίας χθονός.

667. Vgl. 716; zu θαυμάτων κρείσσονα Hec. 714 ἄρρητ' ἀνωνόμαστα, θαυμάτων πέρα.

669. τὰ κεῖθεν, weil der Hirte die Meldung von dort herbringt. Vgl. Med. 117 καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται und zu 49. — λόγον στελλέσθαι (von der Redensart ἱστία στέλλεσθαι 'die Segel streichen' entlehnt) bedeutet: 'mit Schüchternheit und Rückhalt sprechen'. Vgl. Or. 607 ἐπεὶ θρασύνει κοὐχ ὑποστέλλει λόγῳ, Demosth. παραπρεσβ. 237 μετὰ παρρησίας διαλεχθῆναι, μηδὲν ὑποστελλόμενον ('ohne ein Blatt vor den Mund zu nehmen').

673. Der Gedanke hat hier keine passende Beziehung. Vgl. fr. 289 τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών.

676. τῇ δίκῃ προσθήσομεν: ähnlich ist die homerische Redensart κακῆς ὀδύνῃσι πελάζειν (Il. 5, 766).

678. ὑπεξήκριζον kann nicht als dritte Person Plural betrachtet werden, muss also transitiv sein, wenn auch ἐξακρίζειν Or. 275 ἐξακρίζετ' αἰθέρα πτεροῖς (Schol. εἰς τὰ ἄκρα τοῦ αἰθέρος πέτεσθε) intrans. ist.

679. d. h. zur Zeit des Sonnenaufgangs.

681. τοῦ δευτέρου ohne δὲ wie ἔπειτα nach πρῶτον μέν.

683. σώμασιν παρειμέναι: vgl. Krueg. I § 48, 15, 15.

686. σὺ φῂς, 222. Es wird vorausgesetzt, dass die Rede im Volk bekannt geworden sei.

687 f. ᾠνωμένας . . θηρᾶν: an Stelle der Participialconstruction (θηρῶσαι) wird das zweite Glied von

θηρᾶν καθ' ὕλην Κύπριν ἠρημωμένην.
ἡ σὴ δὲ μήτηρ ὠλόλυξεν ἐν μέσαις
σταθεῖσα Βάκχαις, ἐξ ὕπνου κινεῖν δέμας,
μυκήμαθ' ὡς ἤκουσε κεροφόρων βοῶν.
αἳ δ' ἀποβαλοῦσαι θαλερὸν ὀμμάτων ὕπνον
ἀνῇξαν ὀρθαί, θαῦμ' ἰδεῖν εὐκοσμίας,
νέαι παλαιαὶ παρθένοι τ' ἔτ' ἄζυγες.
καὶ πρῶτα μὲν καθεῖσαν εἰς ὤμους κόμας
νεβρίδας τ' ἀνεστείλανθ' ὅσαισιν ἁμμάτων
σύνδεσμ' ἐλέλυτο, καὶ καταστίκτους δορὰς
ὄφεσι κατεζώσαντο λιχμῶσιν γένυν.
αἳ δ' ἀγκάλαισι δορκάδ' ἢ σκύμνους λύκων
ἀγρίους ἔχουσαι λευκὸν ἐδίδοσαν γάλα,
ὅσαις νεοτόκοις μαστὸς ἦν σπαργῶν ἔτι
βρέφη λιπούσαις· ἐπὶ δ' ἔθεντο κισσίνους
στεφάνους δρυός τε μίλακός τ' ἀνθεσφόρου.
θύρσον δέ τις λαβοῦσ' ἔπαισεν εἰς πέτραν,
ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς·
ἄλλη δὲ νάρθηκ' εἰς πέδον καθῆκε γῆς,
καὶ τῇδε κρήνην ἐξανῆκ' οἴνου θεός·
ὅσαις δὲ λευκοῦ πώματος πόθος παρῆν,
ἄκροισι δακτύλοισι διαμῶσαι χθόνα
γάλακτος ἑσμοὺς εἶχον· ἐκ δὲ κισσίνων

dem Zwischensatz ὡς σὺ φῄς abhängig. Vgl. Aesch. Pers. 188 τούτω στάσιν τιν' ὡς ἐγὼ 'δόκουν ὁρᾶν, τεύχειν ἐν ἀλλήλαισι, Soph. Trach. 1238 ἀνὴρ ὅδ', ὡς ἔοικεν, οὐ νεμεῖν ἐμοὶ φθίνοντι μοῖραν, Cic. off. I 7, 22 *quoniam . . ut placet Stoicis, quae in terris gignuntur ad usum hominum creari*, Krueg. I § 55, 4, 7. — ἠρημωμένην, ἐν ἐρημίᾳ ουσαν, vgl. 222.

689 f. ὠλόλυξεν: vgl. zu Med. 1173. Der Infin. κινεῖν (δέμας, sich zu rütteln) ist von dem in ὠλόλυξεν liegenden Begriff der Aufforderung abhängig.

692. θαλερὸς ὕπνος entspricht dem homerischen ἥδυμος ὕπνος.

693. θαῦμ' ἰδεῖν (Krueg. I § 55, 3, 9) εὐκοσμίας: vgl. zu 9.

694. παρθένοι ἄζυγες: vgl. Hipp. 1425 κόραι γὰρ ἄζυγες γάμων.

696. Accius Bacch. fr. XIV *tunc silvestrum exuvias laevo pictas lateri accommodant.*

698. λιχμῶσιν γένυν: vgl. 767 f.

702. ἐπὶ δ' ἔθεντο d. i. αἳ δὲ ἐπέθεντο.

703. δρυός nach κισσίνους mit poetischem Wechsel des Ausdrucks. Im übrigen vgl. 106 ff. — Accius Bacch. fr. XV *deinde ab iugulo pectus glauco pampino obnexae obtegunt.*

705. δροσώδης ὕδατος νοτίς: vgl. Phoen. 645 καλλιπόταμος ὕδατος νοτὶς ῥυτᾶς Δίρκας, Ion 149 νοτερὸν ὕδωρ. — ἐκπηδᾷ: zu 2.

706 ff. Vgl. Plat. Ion p. 534 A αἱ βάκχαι ἀρύτονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δὲ οὖσαι οὔ, Hor. carm. II 19, 9 *fas pervicaces est mihi Thyiadas vinique fontem lactis et uberes cantare rivos atque truncis lapsa cavis iterare mella.*

707. τῇδε ist Adverbium.

θύρσων γλυκεῖαι μέλιτος ἔσταζον ῥοαί.
ὥστ' εἰ παρῆσθα, τὸν θεὸν τὸν νῦν ψέγεις
εὐχαῖσιν ἂν μετῆλθες εἰσιδὼν τάδε.
ξυνήλθομεν δὲ βουκόλοι καὶ ποιμένες,
κοινῶν λόγων δώσοντες ἀλλήλοις ἔριν·
[ὡς δεινὰ δρῶσι θαυμάτων τ' ἐπάξια]
καί τις πλάνης κατ' ἄστυ καὶ τρίβων λόγων
ἔλεξεν εἰς ἅπαντας· „ὦ σεμνὰς πλάκας
ναίοντες ὀρέων, θέλετε θηρασώμεθα
Πενθέως Ἀγαύην μητέρ' ἐκ βακχευμάτων
χάριν τ' ἄνακτι θώμεθ'; εὖ δ' ἡμῖν λέγειν
ἔδοξε, θάμνων δ' ἐλλοχίζομεν φόβαις
κρύψαντες αὑτούς· αἳ δὲ τὴν τεταγμένην
ὥραν ἐκίνουν θύρσον εἰς βακχεύματα,
Ἴακχον ἀθρόῳ στόματι τὸν Διὸς γόνον
Βρόμιον καλοῦσαι· πᾶν δὲ συνεβάκχευ' ὄρος
καὶ θῆρες, οὐδὲν δ' ἦν ἀκίνητον δρόμῳ.
κυρεῖ δ' Ἀγαύη πλησίον θρώσκουσά μου·
κἀγὼ 'ξεπήδησ' ὡς συναρπάσαι θέλων,

712. *τὸν*: diese Form wird im Trimeter nur dem Versmass zu Liebe gebraucht.

713. *εὐχαῖσιν μετῆλθες*: vgl. fr. 775, 46 *εὐχαῖς προσέβαν*.

715. *κοινῶν . . ἔριν* d. i. um das Gesehene mit einander zu besprechen, woraus sich ein Streit über die Bedeutung desselben entwickelte.

716 (aus 667) passt nicht zu *ἔριν*.

717. *πλάνης κατ' ἄστυ*: *qui aliquotiens urbem invisit ideoque ceteris pastoribus et bubulcis legem dare dignum se putat:* Elmsley; vielmehr wohl: der durch seinen häufigen Aufenthalt in der Stadt aufgeklärt und frivol geworden. Vgl. Or. 919 *ἀνδρεῖος δ' ἀνήρ, ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον, αὐτουργός . . ἀκέραιος, ἀνεπίπληκτον ἠσκηκὼς βίον*. Ebenso erzählt ein Hirte Iph. T. 275: *ἄλλος δέ τις μάταιος, ἀνομίᾳ θρασύς, ἐγέλασεν εὐχαῖς*. — *τρίβων λόγων*: Krueg. II § 47, 26, 6.

718. *λέγειν εἰς* bei Ausdrücken welche eine Menge bezeichnen (*τὸ πλῆθος, τὴν βουλήν, τὸν δῆμον, τὴν στρατιάν, τὴν πόλιν, ὑμᾶς, τὸ μέσον*).

719. *θέλετε*: Krueg. I § 54, 2, 3, Koch § 105, 4 b.

721. *χάριν τίθεσθαι, χαρίζεσθαι* wie Hec. 1212, El. 61.

722. *ἐλλοχίζομεν* wie *κυρεῖ* 728: zu 2.

723. *αὑτούς, ἡμᾶς αὐτούς*: Krueg. I § 51, 2, 15, Koch § 75, 1, 2. — *τὴν τεταγμένην ὥραν* wie Herod. VII 50 *ὥρην τοῦ ἔτεος καλλίστην πορευόμεθα*, 151 *Ἀργείους τὸν αὐτὸν τοῦτον χρόνον πέμψαντας ἐς Σοῦσα ἀγγέλους*, Krueg. II § 46, 4.

725. *τὸν Δ. γόνον* dem direkten Ruf *Ἴακχος ὁ Δ. γόνος* entsprechend wie in *ἐπιχειροῦσι βάλλειν τὸν Δέξιππον, ἀνακαλοῦντες τὸν προδότην* Xen. Anab. VI 6, 7. Vgl. 1146, 1319, Or. 1140 *ὁ μητροφόντης δ' οὐ καλεῖ ταύτην κτανών*, Heracl. 978, Hipp. 590, Iph. A. 1354.}

726. *συνεβάκχευ' ὄρος*: Aesch. fr. 57 *ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη* (von dem Palaste des Lykurgos).

729. *ὡς* pleonastisch bei *θέλων* wie öfter in *ὡς ἐπὶ* (*εἰς, πρός*).

λόχμην κενώσας ἔνθ᾽ ἐκρύπτομεν δέμας·
ἣ δ᾽ ἀνεβόησεν· ‚ὦ δρομάδες ἐμαὶ κύνες,
θηρώμεθ᾽ ἀνδρῶν τῶνδ᾽ ὕπ᾽· ἀλλ᾽ ἕπεσθέ μοι,
ἕπεσθε θύρσοις διὰ χερῶν ὡπλισμέναι.᾽
ἡμεῖς μὲν οὖν φεύγοντες ἐξηλύξαμεν
Βακχῶν σπαραγμόν, αἳ δὲ νεμομέναις χλόην
μόσχοις ἐπῆλθον χειρὸς ἀσιδήρου μέτα.
καὶ τὴν μὲν ἂν προσεῖδες εὔθηλον πόριν
μυκωμένην ἔχουσαν ἐν χεροῖν βίᾳ,
ἄλλαι δὲ δαμάλας διεφόρουν σπαράγμασιν.
εἶδες δ᾽ ἂν ἢ πλεύρ᾽ ἢ δίχηλον ἔμβασιν
ῥιπτόμεν᾽ ἄνω τε καὶ κάτω· κρεμαστὰ δὲ
ἔσταζ᾽ ὑπ᾽ ἐλάταις ἀναπεφυρμέν᾽ αἵματι.
ταῦροι δ᾽ ὑβρισταί, κεἰς κέρας θυμούμενοι
τὸ πρόσθεν, ἐσφάλλοντο πρὸς γαῖαν δέμας,
μυριάσι χειρῶν ἀγόμενοι νεανίδων.
θᾶσσον δὲ διεφοροῦντο σαρκὸς ἐνδυτὰ
ἢ σὲ ξυνάψαι βλέφαρα βασιλείοις κόραις.

732. **ἀνδρῶν**: zu 823. — **τῶνδ᾽ ὕπ᾽** (nicht ὕπ᾽): die Nachstellung der Präposition in Mitte (nicht am Ende) des Trimeters ist auf die apostrophierten wie alle nicht anastrophischen Präpositionen (*ἀμφί, ἀντί* u. a.) und *ὑπέρ* beschränkt: Tro. 1021, Cycl. 318, El. 574. Iph. A. 967; El. 1026, 1125, Ion 431, fr. 362.

733. **διὰ χερῶν ὡπλισμέναι** wie *διὰ χειρὸς (χειρῶν) ἔχειν*.

738. Die Bacchantinnen hielten die Thiere mit blossen Händen gewaltsam fest und diese brüllten unter dem Drucke.

739. **ἄλλαι δέ** für *αἳ δέ*. — **διεφόρουν**: vgl. die Darstellung auf einem Vasenbilde Einl. S. 14.

741 f. **ῥιπτόμενα**: die Congruenz entspricht der gewöhnlichen Regel Krueg. I § 58, 3, 4, Koch § 69 (nicht '*notandum ῥιπτόμενα pro ῥιπτομένην*' wie Elmsley bemerkt). — **κρεμαστὰ δέ**: d. i. wenn die voraus genannten Stücke bei dem Emporschleudern an Zweigen hangen blieben.

743. Die Bedeutung des prägnanten Ausdrucks *εἰς κέρας θυμοῦσθαι*, *irasci in cornua* (Verg. Ge. III 232, Aen. XII 102 vgl. auch Ovid. Metam. VIII 883 *armenti modo dux vires in cornua sumo*) ergibt sich aus Hel. 1557 wo es von einem Stier heisst: *ἐξεβρυχᾶτ᾽ ὄμμ᾽ ἀναστρέφων κύκλῳ κυρτῶν τε νῶτα κεἰς κέρας παρεμβλέπων*. Daher auch *ὄμμα ταυροῦσθαι* (Med. 92), *ταυρηδὸν βλέπειν* von dem wilden Blicke des Stieres, wenn er den Kopf beugend und die Augen nach den Hörnern hin richtend zum Stosse sich anschickt. **Δέμας**: auch Hel. 1562 *ταύρειον δέμας*.

746. **ἐνδυτά** ist Acc. wie vorher *δέμας* (Krueg. I § 52, 4, 2, Koch § 93, 1, 4). — **θᾶσσον ἢ σὲ ξυνάψαι** wie *πρόσθεν ἢ σὲ γνωρίσαι* 1285, *πρόσθεν ἢ ἰδεῖν* Soph. O. T. 832, *πρότερον ἤ* mit Infin. bei Herodot. Vgl. auch fr. 1068, 10 *ἀρετὴν ἐχούσης μεῖζον᾽ ἢ λόγῳ φράσαι*. — **βλέφαρα ξυνάψαι**: vgl. *βλέφαρα συμβαλεῖν ὕπνῳ* Aesch. Ag. 15. Uebrigens ist *βασιλ. κόραις* von *ξυνάψαι* abhängig: beim Zucken schliessen sich die Augenwimpern mit den Pupillen zusammen.

χωροῦσι δ' ὥστ' ὄρνιθες ἀρθεῖσαι δρόμῳ
πεδίων ὑποτάσεις, αἳ παρ' Ἀσωποῦ ῥοαῖς
εὔκαρπον ἐκβάλλουσι Θηβαίοις στάχυν,
Ὑσιάς τ' Ἐρυθράς θ', αἳ Κιθαιρῶνος λέπας
νέρθεν κατῳκήκασιν, ὥστε πολέμιοι
ἐπεισπεσοῦσαι πάντ' ἄνω τε καὶ κάτω
διέφερον· ἥρπαζον μὲν ἐκ δόμων τέκνα,
*   *   *   *   *   *   *
ὁπόσα δ' ἐπ' ὤμοις ἔθεσαν, οὐ δεσμῶν ὕπο
προσείχετ' οὐδ' ἔπιπτεν εἰς μέλαν πέδον,
οὐ χαλκός, οὐ σίδηρος· ἐπὶ δὲ βοστρύχοις
πῦρ ἔφερον, οὐδ' ἔκαιεν. οἳ δ' ὀργῆς ὕπο
εἰς ὅπλ' ἐχώρουν φερόμενοι Βακχῶν ὕπο·
οὗπερ τὸ δεινὸν ἦν θέαμ' ἰδεῖν, ἄναξ.
τοῖς μὲν γὰρ οὐχ ἥμασσε λογχωτὸν βέλος,
κεῖναι δὲ θύρσους ἐξανιεῖσαι χερῶν
ἐτραυμάτιζον κἀπενώτιζον φυγῇ
γυναῖκες ἄνδρας, οὐκ ἄνευ θεῶν τινος.
πάλιν δ' ἐχώρουν ὅθεν ἐκίνησαν πόδα,
κρήνας ἐπ' αὐτὰς ἃς ἀνῆκ' αὐταῖς θεός.
νίψαντο δ' αἷμα, σταγόνα δ' ἐκ παρηίδων
γλώσσῃ δράκοντες ἐξεφαίδρυνον χροός.
τὸν δαίμον' οὖν τόνδ' ὅστις ἔστ', ὦ δέσποτα,
δέχου πόλει τῇδ', ὡς τά τ' ἄλλ' ἐστὶν μέγας,

748. *ὥστ' ὄρνιθες ἀρθεῖσαι* wegen des leicht hinschwebenden Laufes, wo sie den Boden kaum zu berühren schienen.

749. *πεδίων ὑποτάσεις*: zu 307.

750. *ἐκβάλλουσι* wie *ἀνιέναι, ἀναπέμπειν, πέμπειν* (Soph. Phil. 1162 *ὅσα πέμπει βιόδωρος αἶα*).

752. *κατῳκήκασιν* wie *ναίειν* von Städten, Inseln (gelegen sein).

754 f. Dem *ἥρπαζον μὲν* sollte ein weiteres Glied entsprechen und 757 zeigt, dass die Bacchantinnen nicht bloss Kinder rauben.

758 f. *οἳ δὲ*, die Beraubten. — *φερόμενοι* wie *φέρειν καὶ ἄγειν τινά.*

760. Vgl. Med. 1167. Wegen des bei *δεινὸς* besonders häufigen, das vorzugsweise *δεινὸν* hervorhebenden Artikels vgl. zu Iph. T. 320 *οὐ δὴ τὸ δεινὸν παρακέλευμ' ἠκούσαμεν.*

761. *ἥμασσε* absolut (Wunden machen).

764. Vgl. Aesch. Pers. 164 *ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινος*, Hom. Il. 15, 292 *οὐ γὰρ ἄτερ γε Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν.*

766. Vgl. 705.

767. *νίψαντο*: zu 100.

768. *χροός* muss, wenn der Text richtig ist, wie *ἐκ παρηίδων* von *ἐξεφαίδρυνον* abhängig sein ('*e genis delebant, ex cute*' Hermann). Man kann Phoen. 1374 *ἔγχος ἐκ χερὸς τῆσδ' ἀπ' ὠλένης βαλεῖν* vergleichen. Wahrscheinlich aber ist der Text lückenhaft und zwischen *γλώσσῃ* und *δράκοντες ἐξεφαίδρυνον χρόα* nebst anderem ein Wort wie *λιχμῶντες* ausgefallen. — *ἐξεφαίδρυνον scripsit, non ἐξεφαίδρυναν, quia inter la-*

κἀκεῖνό φασιν αὐτόν, ὡς ἐγὼ κλύω,
τὴν παυσίλυπον ἄμπελον δοῦναι βροτοῖς.
οἴνου δὲ μηκέτ' ὄντος οὐκ ἔστιν Κύπρις
οὐδ' ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι.

ΧΟ. ταρβῶ μὲν εἰπεῖν τοὺς λόγους ἐλευθέρους
εἰς τὸν τύραννον, ἀλλ' ὅμως εἰρήσεται·
Διόνυσος ἥσσων οὐδενὸς θεῶν ἔφυ.

ΠΕ. ἤδη τόδ' ἐγγὺς ὥστε πῦρ ὑφάπτεται
ὕβρισμα Βακχῶν, ψόγος ἐς Ἕλληνας μέγας.
ἀλλ' οὐκ ὀκνεῖν δεῖ· στεῖχ' ἐπ' Ἠλέκτρας ἰὼν
πύλας· κέλευε πάντας ἀσπιδηφόρους
ἵππων τ' ἀπαντᾶν ταχυπόδων ἐπεμβάτας
πέλτας θ' ὅσοι πάλλουσι καὶ τόξων χερὶ
ψάλλουσι νευράς, ὡς ἐπιστρατεύσομεν
Βάκχαισιν· οὐ γὰρ ἀλλ' ὑπερβάλλει τάδε,
εἰ πρὸς γυναικῶν πεισόμεσθ' ἃ πάσχομεν.

ΔΙ. πείθει μὲν οὐδὲν τῶν ἐμῶν λόγων κλύων,
Πενθεῦ· κακῶς δὲ πρὸς σέθεν πάσχων ὅμως
οὔ φημι χρῆναί σ' ὅπλ' ἐπαίρεσθαι θεῷ,
ἀλλ' ἡσυχάζειν· Βρόμιος οὐκ ἀνέξεται
κινοῦντα Βάκχας σ' εὐίων ὀρῶν ἄπο.

vandum serpentes guttas abstersisse significare volebat (Matthiae).

771 ff. Gern schliessen Botenreden mit einem für die Denkweise der betreffenden Personen charakteristischen Gedanken. — *φασίν, ὡς ἐγὼ κλύω*: vgl. Phoen. 737 *ἑπτ' ἄνδρας αὐτοῖς φασιν, ὡς ἤκουσ' ἐγώ κτέ.*, Med. 287 *κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι.*

778. *ὥστε πῦρ*: die Vergleichung bezieht sich auf die unwiderstehliche immer weiter um sich greifende Gewalt. Vgl. Or. 696 *ὅταν γὰρ ἡβᾷ δῆμος εἰς ὀργὴν πεσών, ὅμοιον ὥστε πῦρ κατασβέσαι λάβρον*, Hom. Il. 13, 330 *Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκήν*, 11, 596 *ὣς οἳ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο.*

780. *Ἠλέκτρας πύλας*: Paus. IX 8, 7 *ἐρχομένῳ δὲ ἐκ Πλαταίας ἔσοδος ἐς τὰς Θήβας κατὰ πύλας ἐστὶν Ἠλέκτρας.* Das Thor lag also in der Richtung des Kithäron.

782. *ἀπαντᾶν* ist in das zweite Glied gerückt wie Heracl. 158 *εἴς γόους τε καὶ τὰ τῶνδ' οἰκτίσματα βλέψας* u. ö.

785. Ueber das elliptische *οὐ γὰρ* (denn es kann nicht so fortgehen) *ἀλλά* vgl. Krueg. I § 67, 14, 2, Koch § 131, 11, 3.

786. Vgl. Soph. Ant. 679 *κρεῖσσον γάρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν.* — Der Bote ab.

787—861 fünfte Scene: Dionysos und Pentheus. Nach einem letzten Versuche den Pentheus zur Besinnung zu bringen beginnt 810 (mit der Interjection *ἆ*) die Einleitung der Katastrophe. — *μὲν — δὲ*: 'du hörst zwar nicht auf meine Worte; aber doch will ich dir noch einen heilsamen Rath geben'.

788. *ὅμως*: zu 892.

791. *κινοῦντα . . σε* wie Androm. 711 *οὐκ ἀνέξεται τίκτοντας ἄλλους.* Krueg. I § 56, 6, 2. — *εὐίων*: vgl. 238.



ΠΕ. οὐ μὴ φρενώσεις μ', ἀλλὰ δέσμιος φυγὼν
σώσει τόδ'; ἢ σοὶ πάλιν ἀναστρέψω χέρας.
ΔΙ. θύοιμ' ἂν αὐτῷ μᾶλλον ἢ θυμούμενος
πρὸς κέντρα λακτίζοιμι θνητὸς ὢν θεῷ.
ΠΕ. θύσω — φόνον γε θῆλυν, ὥσπερ ἄξιαι,
πόλεμον ταράξας ἐν Κιθαιρῶνος πτυχαῖς.
ΔΙ. φεύξεσθε πάντες· καὶ τόδ' αἰσχρόν, ἀσπίδας
θύρσοισι Βακχῶν ἐκτρέπειν χαλκηλάτους.
ΠΕ. ἀπόρῳ γε τῷδε συμπεπλέγμεθα ξένῳ,
ὃς οὔτε πάσχων οὔτε δρῶν σιγήσεται.
ΔΙ. ὦ τᾶν, ἔτ' ἔστιν εὖ καταστῆσαι τάδε.
ΠΕ. τί δρῶντα; δουλεύοντα δουλείαις ἐμαῖς;
ΔΙ. ἐγὼ γυναῖκας δεῦρ' ὅπλων ἄξω δίχα.
ΠΕ. οἴμοι· τόδ' ἤδη δόλιον εἴς με μηχανᾷ.
ΔΙ. ποῖόν τι, σῶσαί σ' εἰ θέλω τέχναις ἐμαῖς;
ΠΕ. ξυνέθεσθε κοινῇ τάδ', ἵνα βακχεύητ' ἀεί.
ΔΙ. καὶ μὴν ξυνεθέμην τοῦτό γ', ἴσθι, τῷ θεῷ.
ΠΕ. ἐκφέρετέ μοι δεῦρ' ὅπλα· σὺ δὲ παῦσαι λέγων.
ΔΙ. ἆ·
βούλει σφ' ἐν ὄρεσι συγκαθημένας ἰδεῖν;
ΠΕ. μάλιστα, μυρίον γε δοὺς χρυσοῦ σταθμόν.
ΔΙ. τί δ' εἰς ἔρωτα τοῦδε πέπτωκας μέγαν;

792. *οὐ μὴ . . ἀλλά*: vgl. 343. — *δέσμιος* (s. v. a. *ἐκ δεσμῶν*) *φυγών* entspricht den Redensarten *παράκτιοι δραμεῖσθε* Iph. T. 1424, *ἐκτόπιος συθείς* Soph. O. C. 119 u. a. Vgl. Krueg. II § 57, 5, 2.

793. *σώσει τόδε* (scil. *τὸ δέσμιον φυγεῖν*) d. i. dir die Freiheit erhalten. Vgl. Soph. El. 1257 *μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα. Ξύμφημι κἀγώ· τοιγαροῦν σῴζου τόδε.* Zu *ἀναστρέψω χέρας* (*aut manus tibi iterum retorquebo*) vgl. Soph. O. T. 1154 *οὐχ ὡς τάχος τις τοῦδ' ἀποστρέψει χέρας;*

795. *πρὸς κέντρα* (*κέντρον*, stimulus, der Treibstachel für Zugvieh) *λακτίζειν* ist eine sprichwörtliche Redensart, die sich öfter findet. Vgl. zu Aesch. Pro. 323.

796. *θύσω — φόνον γε θῆλυν* (nicht *βόειον, μήλειον*): in überraschender und sarkastischer Weise wird das wiederholte *θύειν* anders gewendet. — Mit *φόνον θῆλυν* vgl. *ὅμαιμος αὐθέντης φόνος* Aesch. Eum. 212, *φόνους πατρῴους* Soph. El. 779. — *ἄξιαι*: das entsprechende Verbum *ἀποθανεῖν* ergibt sich leicht aus dem vorhergehenden.

797. *πόλεμον ταράξας* wie Soph. Ant. 794 *νεῖκος ταράξας*, Plat. Staat p. 567 A *πόλεμον ταράττειν*.

799. *ἐκτρέπειν θύρσοισι* wird erklärt 'abwenden vor Thyrsusstäben' (vgl. *ὑποχωρεῖν τινι*) oder *scuta propter Baccharum thyrsos avertere i. e. ad fugam se convertere* (Hermann).

800 f. *ἀπόρῳ*, mit dem man nicht fertig werden, zu keinem Ziel und Ende kommen kann. — *οὔτε πάσχων οὔτε δρῶν*: mit diesen gegensätzlichen Begriffen spezialisirt der Dichter das allgemeine 'auf keine Weise'. Vgl. Soph. Ant. 40 *τί δὲ . . λύουσ' ἂν ἢ 'φάπτουσα προσθείμην πλέον.*

808. *ξυνεθέμην τῷ θεῷ*, weil er selbst der Gott ist.

ΠΕ. λυπρῶς νιν εἰσίδοιμ' ἂν ἐξῳνωμένας.
ΔΙ. ὅμως δ' ἴδοις ἂν ἡδέως ἅ σοι πικρά;
ΠΕ. σάφ' ἴσθι, σιγῇ γ' ὑπ' ἐλάταις καθήμενος.
ΔΙ. ἀλλ' ἐξιχνεύσουσίν σε, κἂν ἔλθῃς λάθρᾳ.
ΠΕ. ἀλλ' ἐμφανῶς· καλῶς γὰρ ἐξεῖπας τάδε.
ΔΙ. ἄγωμεν οὖν σε κἀπιχειρήσεις ὁδῷ;
ΠΕ. ἄγ' ὡς τάχιστα, τοῦ χρόνου δέ σοι φθονῶ.
ΔΙ. στεῖλαί νυν ἀμφὶ χρωτὶ βυσσίνους πέπλους.
ΠΕ. τί δὴ τόδ'; εἰς γυναῖκας ἐξ ἀνδρὸς τελῶ;
ΔΙ. μή σε κτάνωσιν, ἢν ἀνὴρ ὀφθῇς ἐκεῖ.
ΠΕ. εὖ γ' εἶπας αὐτὸ καί τις εἶ πάλαι σοφός.
ΔΙ. Διόνυσος ἡμᾶς ἐξεμούσωσεν τάδε.
ΠΕ. πῶς οὖν γένοιτ' ἂν ἃ σύ με νουθετεῖς καλῶς;
ΔΙ. ἐγὼ στελῶ σε δωμάτων εἴσω μολών.
[ΠΕ. τίνα στολήν; ἦ θῆλυν; ἀλλ' αἰδώς μ' ἔχει.]
ΠΕ. στολὴν δὲ τίνα φῂς ἀμφὶ χρῶτ' ἐμὸν βαλεῖν;
ΔΙ. κόμην μὲν ἐπὶ σῷ κρατὶ ταναὸν ἐκτενῶ.
ΠΕ. τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου τί μοι;
ΔΙ. πέπλοι ποδήρεις· ἐπὶ κάρᾳ δ' ἔσται μίτρα.

814 f. λυπρῶς: Pentheus trägt Verlangen nach dem Aerger des Anblicks, wie er 674 ff. sich auf die Erzählung von Greueln der Bacchantinnen freut. Seinem Unwillen über die Bacchantinnen kann ein Anblick nur ersehnt sein, welcher seinem Vorurtheil neue Nahrung gewährt. Der Obstinate verlangt und sucht nicht die Wahrheit, sondern nur die Bestätigung seiner Ansicht. (Matthiae: *viderem eas vino gravatas cum malo suo.* Dieser Erklärung von λυπρῶς widerspricht die in den folgenden Worten ἅ σοι πικρά liegende Beziehung).

819. ἄγωμεν wie φέρωμεν 949.

820. τοῦ χρόνου σοι φθονῶ bedeutet nur 'es darf keine Zeit verloren werden' (vgl. 197), nicht 'die Zeit wo du frei und straflos bleibst dauert mir viel zu lang'. Vgl. Hec. 238 ἔξεστ' ἐρωτᾶ· τοῦ χρόνου (Aufschub) γὰρ οὐ φθονῶ.

821. βυσσίνους πέπλους: aus βύσσος (Baumwolle) wurden seit der Zeit, wo der Stoff in Griechenland bekannt geworden war, vorzugsweise Frauenkleider gefertigt.

822. εἰς γυναῖκας τελῶ wie Soph. O. T. 222 εἰς ἀστοὺς τελῶ, hergenommen von dem Ausdruck des attischen Census εἰς ἱππῆς τελεῖν (nach dem Census der zweiten Vermögensklasse zu Leistungen verpflichtet sein, in die Klasse der ἱππῆς gehören).

823. Männer waren von den Orgien der Frauen ausgeschlossen.

824. τις zu σοφός. Vgl. ταχύς τις, ταχεῖά τις Soph. O. T. 618, Ai. 1266.

825. ἐξεμούσωσεν ist wie διδάσκειν construirt.

831. ταναόν: vgl. 454 f.

835. πέπλοι ποδήρεις — μίτρα: wie der lange jonische Chiton, ein weites faltenreiches, bis auf die Füsse herabreichendes Gewand, so war auch die μίτρα, ein Kopfband, welches das Haar zusammen- oder das Netz (κεκρύφαλος) festzuhalten hatte, ein Hauptstück der weiblichen Tracht. Vgl. Etym. M. μίτρα· λέγεται ὁ γυναικεῖος τῆς κεφαλῆς ἀναδεσμός, unten 929, Hec. 923 ἐγὼ δὲ πλόκαμον ἀναδέτοις μίτραισιν ἐρρυθμιζόμαν, Aristoph. Thesm. 257 κεκρυφάλου δεῖ καὶ μίτρας.



ΠΕ. οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν. 836
ΔΙ. οὐκέτι θεατὴς Μαινάδων πρόθυμος εἶ. 829
ΠΕ. ἦ καί τι πρὸς τοῖσδ' ἄλλο προσθήσεις ἐμοί; 834
ΔΙ. θύρσον γε χειρὶ καὶ νεβροῦ στικτὸν δέρος. 835
ΠΕ. πᾶν κρεῖσσον ὥστε μὴ 'γγελᾶν Βάκχας ἐμοί. 842
ΔΙ. ἀλλ' αἷμα δεύσεις συμβαλὼν Βάκχαις μάχην. 837
ΠΕ. ὀρθῶς· μολεῖν χρὴ πρῶτον εἰς κατασκοπήν.
ΔΙ. σοφώτερον γοῦν ἢ κακοῖς θηρᾶν κακά.
ΠΕ. καὶ πῶς δι' ἄστεως εἶμι Καδμείους λαθών; 840
ΔΙ. ὁδοὺς ἐρήμους ἴμεν· ἐγὼ δ' ἡγήσομαι. 841
ΠΕ. ἐλθόντ' ἐς οἴκους ἂν δοκῇ βουλεύσομαι. 843
ΔΙ. ἔξεστι· πάντῃ τό γ' ἐμὸν εὐτρεπὲς πάρα.
ΠΕ. στείχοιμ' ἄν· ἢ γὰρ ὅπλ' ἔχων πορεύσομαι 845
ἢ τοῖσι σοῖσι πείσομαι βουλεύμασιν.
ΔΙ. γυναῖκες, ἀνὴρ εἰς βόλον καθίσταται· 848
ἥξει δὲ Βάκχας, οὗ θανὼν δώσει δίκην. 847
Διόνυσε, νῦν σὸν ἔργον, οὐ γὰρ εἶ πρόσω,
τισώμεθ' αὐτόν. πρῶτα δ' ἔκστησον φρενῶν, 850
ἐνεὶς ἐλαφρὰν λύσσαν· ὡς φρονῶν μὲν εὖ
οὐ μὴ θελήσῃ θῆλυν ἐνδῦναι στολήν,
ἔξω δ' ἐλαύνων τοῦ φρονεῖν ἐνδύσεται.
χρῄζω δέ νιν γέλωτα Θηβαίοις ὀφλεῖν
ἐκ τῶν ἀπειλῶν τῶν πρίν, αἷσι δεινὸς ἦν, 856

836. Wie hier noch einmal die Abneigung gegen die weibliche Gewandung, so bricht 842 der Unwille gegen die besonderen Abzeichen der Bacchantinnen durch. — θῆλυν: Krueg. II § 22, 6, 2.

837. αἷμα δεύσεις wie Soph. Ai. 376 ἐρεμνὸν αἷμ' ἔδευσα, zu welcher Stelle Lobeck bemerkt, dass die verba humectandi öfter die Bedeutung 'vergiessen' haben. Im übrigen vgl. Einleitung S. 6.

839. κακοῖς θηρᾶν κακά erinnert an das sprichwörtliche κακοῖς ἰᾶσθαι κακά (Soph. fr. 75).

842. 'Alles ist vorzuziehen was verhindert dass die Bacchantinnen mich verlachen'. Pentheus kehrt zu seinem ersten Plane der Waffengewalt zurück, um nicht in weiblicher Tracht den Bacchantinnen ein Gespötte zu werden.

843. 'Wir wollen beide ins Haus gehen (ἐλθόντε); dort will ich mir überlegen, wozu ich mich entschliesse', Vgl. Krueg. I § 56, 9, 2.

844. ἔξεστι,licet, weil mit ἐλθόντε Dionysos aufgefordert ist.

847. Vgl. Herc. 740 ἦλθες χρόνῳ μὲν οὗ δίκην δώσεις θανών. — Βάκχας: der Acc. bei Personen auch 1354.

848. Pentheus ist voraus gegangen. Εἰς βόλον (das ausgeworfene Netz) καθίσταται wie Rhes. 730 εἰς βόλον τις ἔρχεται. Gewöhnlich wird diese Metapher vom Jagdgarn (ἄρκυς, δίκτυον) entlehnt. Doch vgl. Aesch. Ag. 1382 ἄπειρον ἀμφίβληστρον ὥσπερ ἰχθύων περιστιχίζω.

853. ἔξω ἐλαύνων τοῦ φρονεῖν: der Ausdruck ist von der Rennbahn entlehnt. Vgl. Aesch. Cho. 1022 ὥσπερ ξὺν ἵπποις ἡνιοστροφῶ δρόμου ἐξωτέρω· φέρουσι γὰρ νικώμενον φρένες δύσαρκτοι, Pro. 883

γυναικόμορφον ἀγόμενον δι' ἄστεως.
ἀλλ' εἶμι κόσμον, ὅνπερ εἰς Ἅιδου λαβὼν
ἄπεισι μητρὸς ἐκ χεροῖν κατασφαγείς,
Πενθεῖ προσάψων· γνώσεται δὲ τὸν Διὸς
Διόνυσον, ὃς πέφυκεν ἐλλέροις θεὸς
δεινότατος, ἐννόμοισι δ' ἠπιώτατος.

ΧΟ. Ἆρ' ἐν παννυχίοις χοροῖς στρ.
θήσω ποτὲ λευκὸν
πόδ' ἀναβακχεύουσα, δέραν
αἰθέρ' εἰς δροσερὸν
ῥίπτουσ', ὡς νεβρὸς χλοεραῖς
ἐμπαίζουσα λείμακος ἡδοναῖς,
ἡνίκ' ἂν φοβερὰν φύγῃ
θήραν ἔξω φυλακᾶς
εὐπλέκτων ὑπὲρ ἀρκύων,
θωΰσσων δὲ κυναγέτας

ἔξω δὲ δρόμον φέρομαι λύσσης πνεύματι μάργῳ.

857. ὅνπερ λαβὼν ἄπεισιν εἰς Ἅιδου.

860 f. ἐλλέροις (Hesych. ἔλλερα· κακά) — ἐννόμοισι wie Aesch. Schutzfl. 403 Ζεὺς ἑτερορρεπὴς νέμων εἰκότως ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις.

862—911 drittes Stasimon. Von seiner Angst befreit gedenkt der Chor alsbald die bacchische Feier in einer um so freudigeren und gehobeneren Stimmung zu begehen, je grösser seine Furcht und Noth gewesen, frohlockend des Triumphes über seine Feinde. 'Wie über Pentheus, so bricht über jeden Gottlosen das göttliche Strafgericht herein, wenn auch spät und ungeahnt. Darum soll man sich in seinem Denken und Thun nicht über die Satzungen erheben, welche seit undenklichen Zeiten bestehend ihre Macht bewährt und damit bewiesen haben, dass sie in der Natur begründet sind. Freuen kann sich, wer (wie ich) der Noth und Gefahr entgangen. Und wer sich der Freude hingibt, der ist glücklich: im Genuss des frohen Augenblicks, nicht in den unsicheren Hoffnungen der Zukunft liegt das Glück des Lebens'. — So lenkt dieses Stasimon in den Gedankengang des ersten 370 ff. zurück. — Der logaödische Rhythmus wird durch den Refrain gehoben.

865. δροσερόν von der feuchten Nachtluft.

866. Vgl. El. 859 θὲς εἰς χορὸν ἴχνος ὡς νεβρὸς οὐράνιον πήδημα κουφίζουσα σὺν ἀγλαΐᾳ. — χλοεραῖς für χλοεροῦ, weil λείμακος ἡδοναῖς wie Ein Begriff behandelt wird. Vgl. 1327.

869. φυλακή bezeichnet das Gehege (indago), die Umstellung des Waldes mit Fanggarnen, bei denen Leute aufgestellt waren um das Wild abzufangen. Vgl. Xenoph. Κυνηγ. VI 12 δήσαντα δ' ἐκ τῆς ὕλης τὰς κύνας . . ἱστάναι τὰς ἄρκυς καὶ τὰ δίκτυα, ὡς εἴρηται· μετὰ δὲ τοῦτο τὸν μὲν ἀρκυωρὸν εἶναι ἐν φυλακῇ κτέ.

870. εὐπλέκτων: Hom. Il. 23, 115 σειράς τ' εὐπλέκτους. Vgl. zu Iph. T. 312, wo das Epitheton εὐπήνους ebenso wie hier εὐπλέκτων durch die Handlung motivirt ist.

871 f. θωΰσσων: vgl. Hipp. 219 κυσὶ θωΰξαι. — συντείνῃ ist Aor. wie φύγῃ.

συντείνῃ δρόμημα κυνῶν·
μόχθοις ὠκυδρόμοις ἀελ-
λὰς θρώσκει πεδίον
παραποτάμιον, ἡδομένα
βροτῶν ἐρημίαις
σκιαροκόμοιό τ' ἔρνεσιν ὕλας.
τί τὸ σοφὸν ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;
ὅ τι καλὸν φίλον ἀεί.

ὁρμᾶται μόλις, ἀλλ' ὅμως *ἀντ.*
πιστόν τι τὸ θεῖον
σθένος· ἀπευθύνει δὲ βροτῶν
τούς τ' ἀγνωμοσύναν
τιμῶντας καὶ μὴ τὰ θεῶν
αὔξοντας σὺν μαινομένᾳ δοκᾷ.
κρυπτεύουσι δὲ ποικίλως

872. *ὠκυδρόμοις μόχθοις*: vgl. Or. 1571 *σῆς βοηδρόμου σπουδῆς* und zu 384. — *ἀελλάς* (windschnell): Soph. O. T. 466 *ἀελλάδων ἵππων*, Hel. 1314 *κοῦραι ἀελλόποδες*.

873. *θρώσκει πεδίον*: zu 307.

876. *σκιαροκόμοιο*: vgl. Iph. T. 1147 *ἁβροπλούτοιο*. Euripides liebt die mit *-κομος* zusammengesetzten Adjektiva (*ἀκρόκομος, δενδρόκομος, χλωρόκομος, ὑλόκομος, ὑψίκομος, ἁβροκόμης*).

877. *τί τὸ σοφὸν ἢ τί τὸ κτἑ.*: *sapientia et decus hominibus a diis concessum quid aliud est nisi etc.* (Matthiae).

879. 'Die moralische Grösse bestand bei den alten Griechen in einer ebenso unveränderlichen Liebe gegen seine Freunde als unwandelbarem Hasse gegen seine Feinde'. Lessing Laokoon IV. Vgl. zu Med. 809. — *ἢ* nach *τί τὸ κάλλιον*, während nach *τί τὸ σοφὸν* folgen müsste *εἰ μή*.

880. *κρείσσω* steht in causalem Verhältniss zu *χεῖρα ὑπὲρ κορυφᾶς τῶν ἐχθρῶν (κατ)έχειν*. Zum Ausdruck vgl. Soph. El. 1090 *ζώης μοι καθύπερθεν χειρὶ καὶ πλούτῳ τοσόνδ' ἐχθρῶν ὅσον νῦν ὑπόχειρ ναίεις*.

881. *τὸ καλὸν φίλον* ist nach Plat. Lys. p. 216 C ein altes Sprichwort. Es wird Theogn. 15 in folgender Weise gefeiert: *Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος· ὅττι καλόν, φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστίν. τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.*

882. Vgl. Jon 1615 *ἀεί ποτε χρόνια μὲν τὰ τῶν θεῶν πως, εἰς τέλος δ' οὐκ ἀσθενῆ*, Or. 420 *μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει*, Hom. Il. IV 160 *εἴπερ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν, ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν, σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.*

883. *πιστόν τι* wie *σοφός τις* 824.

885. *ἀγνωμοσύναν*, Frivolität.

887. *σὺν μαινομένᾳ δοκᾷ* (vgl. Hesych. *δοκήν· δόκησιν*) wie 999 *μανείσᾳ πραπίδι*.

888. *κρυπτεύουσι, ἐνεδρεύουσι.* — *ποικίλως*, vafre.

δαρὸν χρόνου πόδα καὶ
θηρῶσιν τὸν ἄσεπτον. οὐ
γὰρ κρεῖσσόν ποτε τῶν νόμων
γιγνώσκειν χρὴ καὶ μελετᾶν.
κούφα γὰρ δαπάνα νομί-
ζειν ἰσχὺν τόδ' ἔχειν,
ὅ τι ποτ' ἄρα τὸ δαιμόνιον,
τό τ' ἐν χρόνῳ μακρῷ
νόμιμον ἀεὶ φύσει τε πεφυκός.
τί τὸ σοφὸν ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;
ὅ τι καλὸν φίλον ἀεί.

εὐδαίμων μὲν ὃς ἐκ θαλάσσας ἐπῳδ.

889. *δαρὸν* für *δαροῦ*. Vgl. zu 1327. — *χρόνου πόδα* bezeichnet Aristophanes Frö. 100 als eine gewagte Metapher. Vgl. fr. 43 *καὶ χρόνου προὔβαινε πούς*. — *καὶ* nach der Zeitbestimmung *δαρὸν χρόνου πόδα* wie nach *ἅμα, ἤδη, οὔπω* (1077) u. ä. (Krueg. I § 69, 32, 6, Koch § 131, 35 Anm. 2). Zum Gedanken vgl. fr. 969 *οὔτοι προσελθοῦσ' ἡ Δίκη σε, μὴ τρέσῃς, παίσει πρὸς ἧπαρ οὐδὲ τῶν ἄλλων βροτῶν τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα μάρψει τοὺς κακούς, ὅταν τύχῃ*.

890. Hesych. *ἄσεπτον· ἀσεβές. Σοφοκλῆς Αἰχμαλωτίσιν*.

891. *κρεῖσσον γιγν. καὶ μελ.*, sich in seinem Denken und Thun über die Satzungen hinwegsetzen. Vgl. Soph. Ant. 454 *ἄγραπτα κἀσφαλῆ θεῶν νόμιμα δύνασθαι θνητὸν ὄντ' ὑπερδραμεῖν*.

893. *κούφα δαπάνα*, es erfordert kein grosses Opfer.

895. *τό τ' ἐν χρόνῳ μακρῷ νόμιμον ἀεί*: vgl. 201.

896. *φύσει τε πεφυκός* wird wie eine Schlussfolgerung hinzugefügt: aus dem Alter der religiösen und sittlichen Satzungen ergibt sich, dass sie von Natur bestehen und der Brust des Menschen innewohnen (*ὁ κοινὸς πάντων ἀνθρώπων νόμος*), wie es Soph. Ant. 457 von den ungeschriebenen Satzungen der Götter heisst: *οὐδεὶς οἶδεν ἐξ ὅτου ἐφάνη* und O. T. 867 *Ὄλυμπος πατὴρ μόνος οὐδέ νιν θνατὰ φύσις ἀνέρων ἔτικτεν*. Den Gegensatz bilden die wandelbaren Bestimmungen menschlicher Gesetze (*τὰ θέσει νόμιμα*). Der scheinbare Pleonasmus des Ausdrucks hat seinen Grund darin, dass die durch den Gebrauch abgeschwächte Bedeutung von *πεφυκέναι* zur Hervorhebung des Begriffs nicht ausreicht. Vgl. Soph. Phil. 79 *ἔξοιδα, παῖ, φύσει σε μὴ πεφυκότα τοιαῦτα φωνεῖν*.

897—901=877—881; ebenso 992—996=1012—1016. Mit dem *ἐφύμνιον* oder *ἐπίφθεγμα* ahmt der Dichter die volksthümliche Weise bacchischer Festfeier nach. Vgl. Christ Metrik S. 630 ff. Während Strophe und Antistrophe die beiden Halbchöre vortragen, wird das Ephymnion von dem gesammten Chor gesungen, ebenso die Epodos.

902. Gleichniss und eigentlicher Gedanke werden bei Dichtern öfter in beigeordneten Sätzen gegeben mit *τὲ* (Schutzfl. 508 *σφαλερὸν ἡγεμὼν θρασὺς νεώς τε ναύτης*), *καὶ* (fr. 415 *μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας πρήσειεν ἄν τις, καὶ πρὸς*

ἔφυγε χεῖμα, λιμένα δ' ἔκιχεν·
εὐδαίμων δ' ὃς ὕπερθε μόχθων
ἐγένεθ'· ἕτερα δ' ἕτερος ἕτερον
ὄλβῳ καὶ δυνάμει παρῆλθεν.
μυρίαι δὲ μυρίοισιν
ἔτ' εἴσ' ἐλπίδες· αἳ μὲν
τελευτῶσιν ἐν ὄλβῳ
βροτοῖς, αἳ δ' ἀπέβησαν·
τὸ δὲ κατ' ἦμαρ ὅτῳ βίοτος
εὐδαίμων, μακαρίζω.

ΔΙΟΝΥΣΟΣ.

σὲ τὸν πρόθυμον ὄνθ' ἃ μὴ χρεὼν ὁρᾶν
σπεύδοντά τ' ἀσπούδαστα, Πενθέα λέγω,
ἔξιθι πάροιθε δωμάτων, ὄφθητί μοι
σκευὴν γυναικὸς μαινάδος Βάκχης ἔχων,
μητρός τε τῆς σῆς καὶ λόχου κατάσκοπος·
πρέπεις δὲ Κάδμου θυγατέρων μορφὴν μιᾷ.

ΠΕΝΘΕΥΣ.

καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,

ἄνδρ' εἰπὼν ἕνα πύθοιντ' ἂν ἀστοὶ πάντες ἃ κρύπτειν χρέων), οὔτε — οὔτε (fr. 194 *ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ τολμῶντα λίαν οὔτε προστάτην χθονός*), *δὲ* (fr. 176 *τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς κτἑ.*), *μὲν — δὲ* (fr. 1034 *ἅπας μὲν ἀὴρ ἀετῷ περάσιμος, ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς*).

903. Die Form der Worte erinnert an den Ausruf der in die eleusinischen Mysterien Eingeweihten: *ἔφυγον κακόν, εὗρον ἄμεινον.*

909. *ἀπέβησαν, ᾤχοντο, φροῦδαι ἐγένοντο.* Vgl. Heracl. 451 *οὐχ ἅπασα γὰρ πέφευγεν ἐλπὶς τῶνδέ μοι σωτηρίας.* Wegen des Aor. zu 304.

910. *ὅτῳ δὲ κατ' ἦμαρ* (Krueg. I § 50, 5, 13) *εὐδαίμων* (*ἐστὶ*) *βίοτος,* (*τοῦτον*) *μακ.*: vgl. Hec. 627 *κεῖνος ὀλβιώτατος, ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.*

912—976 viertes Epeisodion: Dionysos tritt zuerst aus dem Palaste, ihm folgt als Bacchantin verkleidet Pentheus; sein Sinn ist berauscht und sein Geist getrübt den Worten *πρῶτα . . λύσσαν* 850 entsprechend. (Aehnlich ist das Auftreten des wahnsinnbefangenen Aias Soph. Ai. 91.) Ein Diener geht hinterdrein. — Vgl. Med. 271 *σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην, Μήδειαν εἶπον.*

913. *σπεύδοντα ἀσπούδαστα* (*σπεύδει δ' ἀσπούδαστα* Iph. T. 201), analog den Ausdrücken *γάμος ἄγαμος, πότμος ἄποτμος* (zu Iph. T. 144), bezeichnet das unheilvolle, unglückselige des Strebens. *ἀσπούδαστα* steht wie *σπουδὰς ἀσπουδάστους.*

916. *τε* entspricht dem folgenden *καί.* — *λόχου* (Schaar, Schwarm) wie Aesch. Eum. 46 *θαυμαστὸς λόχος εὕδει γυναικῶν,* Sieb. 112 *ἴδετε παρθένων ἱκέσιον λόχον.*

917. *πρέπεις* wie Alc. 1121 *βλέψον πρὸς αὐτήν, εἴ τι σῇ δοκεῖ πρέπειν γυναικί.*

918. Lucian Pseudolog. c. 19 (III p. 177) *τοῦτο δὲ τὸ ἐκ τῆς τραγῳδίας, δύο μὲν ἡλίους ὁρᾶν δοκοῦσι, δισσὰς δὲ Θήβας,* Verg. Aen. IV 468 *Eumenidum veluti demens videt agmina Pentheus et solem geminum et duplices se ostendere Thebas.*

διссὰς δὲ Θήβας καὶ πόλισμ' ἑπτάστομον·
καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς
καὶ σῷ κέρατα κρατὶ προσπεφυκέναι.
ἀλλ' ἦ ποτ' ἦσθα θήρ; τεταύρωσαι γὰρ οὖν.
ΔΙ. ὁ θεὸς ὁμαρτεῖ, πρόσθεν ὢν οὐκ εὐμενής,
ἔνσπονδος ἡμῖν· νῦν δ' ὁρᾷς ἃ χρή σ' ὁρᾶν.
ΠΕ. τί φαίνομαι δῆτ'; οὐχὶ τὴν Ἰνοῦς στάσιν
ἢ τὴν Ἀγαύης ἑστάναι μητρός γ' ἐμῆς;
ΔΙ. αὐτὰς ἐκείνας εἰσορᾶν δοκῶ σ' ὁρῶν.
ἀλλ' ἐξ ἕδρας σοι πλόκαμος ἐξέστηχ' ὅδε.
[οὐχ ὡς ἐγώ νιν ὑπὸ μίτρᾳ καθήρμοσα.]
ΠΕ. ἔνδον προσσείων αὐτὸν ἀνασείων τ' ἐγὼ
καὶ βακχιάζων ἐξ ἕδρας μεθώρμισα.
ΔΙ. ἀλλ' αὐτὸν ἡμεῖς, οἷς σε θεραπεύειν μέλει,
πάλιν καταστελοῦμεν· ἀλλ' ὄρθου κάρα.
ΠΕ. ἰδού, σὺ κόσμει· σοὶ γὰρ ἀνακείμεσθα δή.
ΔΙ. ζῶναί τέ σοι χαλῶσι κοὐχ ἑξῆς πέπλων
στολίδες ὑπὸ σφυροῖσι τείνουσιν σέθεν.
ΠΕ. κἀμοὶ δοκοῦσι παρά γε δεξιὸν πόδα·
τἀνθένδε δ' ὀρθῶς παρὰ τένοντ' ἔχει πέπλος.
ΔΙ. ἦ πού με τῶν σῶν πρῶτον ἡγήσει φίλων,
ὅταν παρὰ λόγον σώφρονας Βάκχας ἴδῃς;
ΠΕ. πότερα δὲ θύρσον δεξιᾷ λαβὼν χερὶ
ἢ τῇδε, Βάκχῃ μᾶλλον εἰκασθήσομαι;
ΔΙ. ἐν δεξιᾷ χρὴ χἄμα δεξιῷ ποδὶ

919. *Θήβας καὶ πόλισμ' ἑπτάστομον* wie Herc. 15 *Ἀργεῖα τείχη καὶ Κυκλωπείαν πόλιν*, Iph. A. 751 *Σιμόεντα καὶ δίνας ἀργυροειδεῖς.*

920. *ταῦρος*, entsprechend der Vorstellung welche die Bacchantinnen von Dionysos hatten (*ταῦρος, ταυρόμορφος, ταυρόκερως*). Vgl. 1017, 1159. Zu dem Plut. qu. Gr. c. 36 erhaltenen alten Volkslied Elischer Frauen *ἐλθεῖν, ἥρω Διόνυσε, Ἀλείων ἐς ναόν . . τῷ βοέῳ ποδὶ θύων* lautet der Refrain *ἄξιε ταῦρε, ἄξιε ταῦρε.*

924. Ebenso Ion 558 *νῦν ὁρᾷς ἃ χρὴ σ' ὁρᾶν.*

925 f. *τὴν Ι. στάσιν ἑστάναι* d. i. in derselben Haltung dazustehen wie Ino. *γὲ*, *utpote* (Elmsley).

929. Der unnöthige Vers stört die Distichomythie.

934. *ἰδού*: zu 198. — Wenn nicht nach diesem Vers eine Zeile ausgefallen ist, so muss die äussere Handlung als Ersatz dafür gelten.

936. *στολίδες*: Poll. VII 54 *εἴη δ' ἂν τις καὶ στολιδωτὸς χιτών· στολίδες δέ εἰσιν αἱ ἐξεπίτηδες ὑπὸ δεσμοῦ γινόμεναι κατὰ τὰ τέλη τοῖς χιτῶσιν ἐπιπτυχαί, μάλιστα ὑπὸ λινῶν χιτωνίσκων* (Plissés), darum *ἑξῆς*, regelrecht nach einander.

938. Er betrachtet sich wie Glauke Med. 1166 *τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.*

940. *ὅταν παρὰ λόγον*: die gleiche Form der Auflösung Ion 931 *τί φής; τίνα λόγον*, Iph. A. 1164 *τίκτω δ' ἐπὶ τρίσι.*

αἴρειν νιν· αἰνῶ δ' ὅτι μεθέστηκας φρενῶν.
ΠΕ. ἆρ' ἂν δυναίμην τὰς Κιθαιρῶνος πτυχὰς
αὐταῖσιν ἐλάταις τοῖς ἐμοῖς ὤμοις φέρειν;
ΔΙ. δύναι' ἄν, εἰ βούλοιο· τὰς δὲ πρὶν φρένας
οὐκ εἶχες ὑγιεῖς, νῦν δ' ἔχεις οἵας σε δεῖ.
ΠΕ. μοχλοὺς φέρωμεν ἢ χεροῖν ἀνασπάσω
κορυφαῖς ὑποβαλὼν ὦμον ἢ βραχίονα;
ΔΙ. μὴ σύ γε τὰ Νυμφῶν διολέσῃς ἱδρύματα
καὶ Πανὸς ἕδρας, ἔνθ' ἔχει συρίγματα.
ΠΕ. καλῶς ἔλεξας· οὐ σθένει νικητέον
γυναῖκας, ἐλάταισιν δ' ἐμὸν κρύψω δέμας.
ΔΙ. κρύψει σὺ κρύψιν ἥν σε κρυφθῆναι χρεὼν
ἐλθόντα δόλιον Μαινάδων κατάσκοπον.
ΠΕ. καὶ μὴν δοκῶ σφᾶς, ἐν λόχμαις ὄρνιθας ὥς,
λέκτρων ἔχεσθαι φιλτάτοις ἐν ἕρκεσιν.
ΔΙ. οὔκουν ἐπ' αὐτὸ τοῦτ' ἀποστέλλει φύλαξ;
λήψει δ' ἴσως σφᾶς, ἢν σὺ μὴ ληφθῇς πάρος.
ΠΕ. κόμιζε διὰ μέσης με Θηβαίας πόλεως·
μόνος γὰρ αὐτῶν εἰμ' ἀνήρ, τολμῶν τόδε.
ΔΙ. μόνος σὺ πόλεως τῆσδ' ὑπερκάμνεις, μόνος·
τοιγάρ σ' ἀγῶνες ἀναμένουσιν οὓς σε χρή.
ἕπου δέ· πομπὸς δ' εἶμ' ἐγὼ σωτήριος,

946. *αὐταῖσιν ἐλάταις*: Krueg. I § 48, 15, 19, Koch § 85, 7, 3.

949. Zu *βραχίονα* muss man aus *ὑποβαλών* ergänzen *περιβαλών*.

951. Paus. IX 3, 5 *ὑπὸ δὲ τῆς κορυφῆς ἐφ' ᾗ τὸν βωμὸν ποιοῦνται, πέντε που μάλιστα καὶ δέκα ὑποκαταβάντι σταδίους νυμφῶν ἐστιν ἄντρον Κιθαιρωνίδων.*

954. Die Cäsur in der Mitte des Verses ist zulässig, wenn am Ende der ersten Hälfte ein elidirtes Wort (δ') steht. Dagegen verstösst 1125.

955. *κρύψει*: zu 588. — *κρύψιν ἥν σε κρυφθῆναι χρεών* ominös (vgl. *τάφῳ κρύπτειν*) wie Iph. A. 1182 *δεξόμεθα δέξιν ἥν σε δέξασθαι χρεών*, aber so gehalten, dass es Pentheus anders versteht. Auch das Verhältniss des Participialsatzes *ἐλθόντα .. κατάσκοπον* ist ein zweifaches ('wenn — dafür dass').

958. *δοκῶ . . ἔχεσθαι ἐν ἕρκεσιν* es kommt mir so vor, als habe man sie schon im Garn. *φιλτάτοις ἕρκεσιν*, eine Art Oxymoron, erhält seine Erklärung durch *λέκτρων*. Vgl. 223. Die darin sich aussprechende Zuversicht schränkt Dionysos im folgenden ein.

959. *φύλαξ* im Sinne von *κατάσκοπος*.

961 f. Pentheus denkt jetzt anders als 840. — *αὐτῶν* nach *Θηβαίας* wie nach *Θηβαίων*: Krueg. I § 58, 4, 6.

963. *ὑπερκάμνεις* doppeltsinnig. — Zu der nachdrucksvollen Wiederholung von *μόνος* vgl. Alc. 722 *φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον*, Hipp. 327 *κάκ', ὦ τάλαινα, σοὶ τάδ', εἰ πεύσει, κακά.*

964. *οὓς σε (ἀναμένειν) χρή.*

965. *πομπός* steht in Gegensatz zu *ἀπάξει* (derjenige der dich hingeleitet). Die folgende Stelle ist voll von tragischer Ironie, noch gehoben durch die Theilung der einzelnen Verse (*ἀντιλαβαί*).

κεῖθεν δ' ἀπάξει σ' ἄλλος ΠΕ. ἡ τεκοῦσά γε.
ΔΙ. ἐπίσημον ὄντα πᾶσιν. ΠΕ. ἐπὶ τόδ' ἔρχομαι.
ΔΙ. φερόμενος ἥξεις ΠΕ. ἁβρότητ' ἐμὴν λέγεις.
ΔΙ. ἐν χερσὶ μητρός. ΠΕ. καὶ τρυφᾶν μ' ἀναγκάσεις.
ΔΙ. τρυφάς γε τοιάσδ'. ΠΕ. ἀξίων μὲν ἅπτομαι.
ΔΙ. δεινὸς σὺ δεινὸς κἀπὶ δείν' ἔρχει πάθη,
ὥστ' οὐρανῷ στηρίζον εὑρήσεις κλέος.
ἔκτειν', Ἀγαύη, χεῖρας αἵ θ' ὁμόσποροι
Κάδμου θυγατέρες· τὸν νεανίαν ἄγω
τόνδ' εἰς ἀγῶνα μέγαν, ὁ νικήσων δ' ἐγὼ
καὶ Βρόμιός ἐστι. τἄλλα δ' αὐτὸ σημανεῖ.

ΧΟ. Ἴτε θοαὶ Λύσσας κύνες ἴτ' εἰς ὄρος, στρ.
θίασον ἔνθ' ἔχουσι Κάδμου κόραι,
ἀνοιστρήσατέ νιν
ἐπὶ τὸν ἐν γυναικομίμῳ στολᾷ,
Μαινάδων τὸν κατάσκοπον λυσσώδη.

967. ἐπίσημον ὄντα πᾶσιν, weil sein Kopf hoch auf dem Thyrsusstab getragen wird.

970. τρυφάς γε τοιάσδε, wie ich sie mit den Worten φερόμενος .. μητρός bezeichnet habe. — ἀξίων versteht Pentheus in dem Sinne, in welchem es Rhes. 182 heisst χρὴ δ' ἐπ' ἀξίοις πονεῖν ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος, wahr wird es in anderem Sinne. — μὲν wie μέντοι. — Pentheus geht ab (rechts nach 961).

972. οὐρανῷ στηρίζον κλέος wie Hipp. 1207 κῦμ' οὐρανῷ στηρίζον, Hom. Il. 4, 443 Ἔρις .. οὐρανῷ ἐστήριξε κάρη.

976. αὐτὸ σημανεῖ: ebenso Phoen. 623. Vgl. Suid. αὐτὸ δείξει· παροιμία· ἐλλείπει τὸ ἔργον, Krueg. 1 § 61, 5, 7.

977—1023 viertes Stasimon. Mit starkem Pathos, für welches der dochmische Rhythmus das geeignete Versmass ist, fleht der Chor, dass alle Geister der Wuth in die Bacchantinnen und besonders Agaue fahren und sie aufreizen gegen den wüthenden Späher, der in ungerechtem Vorurtheil und unsinniger Eingenommenheit gegen die Orgien des Bacchus und der Kybele wahnsinnig und bethört sich anschicke zum vergeblichen Kampfe gegen die Gottheit. Der Chor knüpft daran die Lehre: 'massvoller, genügsamer Sinn ohne Pflichtvergessenheit gegen die Gottheit gewährt ein kummerloses Dasein. Menschenwitz und menschliche Weisheit neide ich nicht. Mein Streben gilt anderem hohem und herrlichem, welches immerdar zur Ehre führt, nämlich der Frömmigkeit reinen Herzens und der Verehrung der Götter'. Der Gesang schliesst, ähnlich wie er begonnen, mit einer Anrufung des Bacchus, den Feind der Bacchantinnen zu verderben. 977—981 und 997—1001 scheint der Koryphaios, 982—984 und 1002—1004 der erste, 985—991 und 1005—1011 der zweite Halbchorführer, die Ephymnia die beiden Halbchöre, die Epodos der ganze Chor vorgetragen zu haben.

977. Λύσσας κύνες wie Aesch. Cho. 1054, Soph. El. 1388 die Erinyen als κύνες bezeichnet werden. Ueber die Reminiscenz welche in diesen Worten vorliegt s. Einleitung S. 7.

980. Vgl. fr. 185 γυναικομίμῳ διαπρέπεις μορφώματι, Aesch. Pro. 1005 γυναικομίμοις ὑπτιάσμασιν χεροῖν.

981. τὸν κατάσκοπον λυσσώδη Μαινάδων.

μάτηρ πρῶτά νιν λευρᾶς ἀπὸ πέτρας ἢ
σκόπελος ὄψεται
δοκεύοντα, Μαινάσιν δ' ἀπύσει·
‚τίς ὅδε Καδμείων
μαστὴρ ὀρθρεύων
ἐς ὄρος ἐς ὄρος ἔμολ' ἔμολεν, ὦ Βάκχαι;
τίς ἄρα νιν ἔτεκεν;
οὐ γὰρ ἐξ αἵματος γυναικῶν ἔφυ,
λεαίνας δέ τινος ὅδ' ἢ Γοργόνων
Λιβυσσᾶν γένος'.
ἴτω δίκα φανερὸς ἴτω ξιφηφόρος
φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον ἄνομον ἄδικον Ἐχίονος
τόκον γηγενῆ.

ὃς ἀδίκῳ γνώμᾳ παρανόμῳ τ' ὀργᾷ *ἀντ.*
περὶ τὰ Βάκχι' ὄργιά τε θεᾶς ματρὸς
μανείσᾳ πραπίδι
παρακόπῳ τε λήματι στέλλεται
τὰν ἀνίκατον ὡς κρατήσων νίκαν.
γνώμαν σώφρονα θνατοῖς ἀπροφασίστοις

982. *λευρᾶς . . σκόπελος* 'von einem weitragenden Felsen wo eine weite Umsicht ist'. Vgl. Ion 714 *ἰὼ δειράδες Παρνασοῦ πέτρας ἔχουσαι σκόπελον οὐράνιόν θ' ἕδραν.*

986. *μαστήρ· ἐρευνητής* Hesych. *Ὀρθρεύων* (in der Frühe) vgl. Theocr. X 58 *μυδίσθειν τὰ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.*

989. *ἄρα*: der Gedanke welcher nachfolgt ('nicht ein Weib hat ihn geboren') schwebt bereits vor.

990. *λεαίνας δέ τινος*: vgl. zu Med. 1297. — *ὅδ'* (*ἔφυ*) ist in's zweite Glied gerückt: zu 782.

991. *Λιβυσσᾶν*: Schol. zu Pind. Pyth. X 72 *αἱ δὲ Γοργόνες κατὰ μέν τινας ἐν τοῖς Ἐρυθραίος μέρεσι καὶ τοῖς Αἰθιοπικοῖς, ἅ ἐστι πρὸς ἀνατολὴν καὶ μεσημβρίαν, κατὰ δέ τινας ἐπὶ τῶν περάτων τῆς Λιβύης ἅ ἐστι πρὸς δύσιν* (so Hes. Theog. 274 f.).

992. *φανερός*: viele Adjektiva die sonst dreier Endungen sind, haben bei den Dichtern, besonders bei Euripides gen. comm.

996. *γηγενῆ*: vgl. 538 ff. Es macht sich in dem Worte bereits der Hinweis auf rohen Materialismus und den mangelnden Sinn für das Höhere bemerklich.

998. *περὶ τὰ ὄργια* (in Ansehung der Orgien) ist nähere Bestimmung zu *ἀδίκῳ . . ὀργᾷ.* — *ὄργια*, welches auch zu *Βάκχια* gehört, ist in's zweite Glied gerückt wie Aesch. Ag. 589 *φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν*, Eum. 9 *λιπὼν δὲ λίμνην Δηλίαν τε χοιράδα.* Vgl. zu 782. — *θεᾶς ματρός, Κυβέλης*: 78, 131.

1001. *τὰν ἀνίκατον νίκαν*: der Grund ist in 635 f. angegeben.

1002. *γνώμαν σώφρονα βροτείαν τ' ἔχειν* (Subjekt) *ἔφυ ἄλυπος βίος θνατοῖς εἰς τὰ θεῶν ἀπροφασίστοις.* Vgl. Iph. T. 1121 *τὸ δὲ μετ' εὐτυχίαν κακοῦσθαι θνατοῖς βαρὺς αἰών.* Zu *ἀπροφασίστοις* vgl. Xenoph. Cyrop. II 4, 10 *φίλους γάρ, οὐκ*

εἰς τὰ θεῶν ἔφυ
βροτείαν τ' ἔχειν ἄλυπος βίος.
τὸ σοφὸν οὐ φθονῶ·
χαίρω θηρεύου-
σα τάδ' ἕτερα μεγάλα φανέρ' ἄγοντ' ἀεὶ
ἐπὶ τὰ καλὰ βίον,
ἦμαρ εἰς νύκτα τ' εὐαγοῦντ' εὐσεβεῖν,
τὰ δ' ἔξω νόμιμα δίκας ἐκβαλόν-
τα τιμᾶν θεούς.
ἴτω δίκα φανερὸς ἴτω ξιφηφόρος
φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον ἄνομον ἄδικον Ἐχίονος
τόκον γηγενῆ.

φάνηθι ταῦρος ἢ πολύκρανος ἰδεῖν *ἐπῳδ.*
δράκων ἢ πυριφλέγων
ὁρᾶσθαι λέων.
ἴθ', ὦ Βάκχε, θηραγρευτᾷ Βακχᾶν
γελῶντι προσώπῳ περίβαλε
βρόχον ἐπὶ θανάσιμον
ἀγέλαν πεσόντι τὰν Μαινάδων.

ΑΓΓΕΛΟΣ.

ὦ δῶμ' ὃ πρίν ποτ' ηὐτύχεις ἀν' Ἑλλάδα,

ἐχθρούς, δεῖ εἶναι τοὺς μέλλοντας ἀπροφασίστους συμμάχους ἔσεσθαι (socii prompti et parati ad officium subeundum).

1004 f. *βροτείαν* im Sinne von 396. *Τὸ σοφὸν* wie 395.

1007. *τάδ' ἕτερα . . βίον* wird näher bestimmt durch *εὐαγοῦντ' εὐσεβεῖν . . ἐκβαλόντα τιμᾶν θεούς* wie *ταῦτα* 424. — *μεγάλα φαμερά* wie 1198 *μεγάλα καὶ φανερά.* — *ἄγοντα ἀεὶ βίον ἐπὶ τὰ καλά*: vgl. fr. 671 *ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν.*

1009. *ἦμαρ εἰς νύκτα τε*, den Tag über und in die Nacht hinein; vgl. 425, Herc. 505 *ἐξ ἡμέρας εἰς νύκτα μὴ λυπούμενοι*, Soph. Ant. 340 *ἔτος εἰς ἔτος*, El. 780 *οὔτε νυκτὸς οὔτ' ἐξ ἡμέρας.*

1010. *τὰ ἔξω δίκας* (die den heiligen Satzungen widersprechenden) *νόμιμα*: vgl. zu 896. Zu *ἔξω δίκας* vgl. Androm. 787 *ταύταν ᾔνεσα . . βιοτάν, μηδὲν δίκας ἔξω κράτος ἐν θαλάμοις καὶ πόλει δύνασθαι.* *Ἐκβαλόντα*: vgl. fr. 340 *ἐκβαλόντ' αὐθαδίαν*, Tro. 59 *ἔχθραν τὴν πρὶν ἐκβαλοῦσα.*

1012. Ueber das Ephymnion zu 897.

1017. *φάνηθι, ὦ Βάκχε* (1020).

1019. *ὁρᾶσθαι* wie vorher *ἰδεῖν*. Der Gebrauch des Aktivs ist gewöhnlicher.

1022. *βρόχον* erhält seine nähere Erklärung an *πεσόντι ἐπὶ τὰν θανάσιμον ἀγέλαν Μαινάδων.*

1024 ff. Exodos. Mit dem Bericht des Boten in der ersten Scene 1024—1152 beginnt die Ausführung der Katastrophe.

1024. Aehnlich spricht der Bote Soph. O. T. 1282 *ὁ πρὶν παλαιὸς δ' ὄλβος ἦν πάροιθε μὲν ὄλβος δικαίως, νῦν δὲ . . στεναγμὸς ἄτη κτἑ.*, Ant. 1161 *Κρέων γὰρ ἦν ζη-*



Σιδωνίου γέροντος, ὃς τὸ γηγενὲς
δράκοντος ἔσπειρ' ὄφεος ἐν γύαις θέρος,
ὥς σε στενάζω, δοῦλος ὢν μέν, ἀλλ' ὅμως.
[χρηστοῖσι δούλοις συμφορὰ τὰ δεσποτῶν]
ΧΟ. τί δ' ἔστιν; ἐκ Βακχῶν τι μηνύεις νέον;
ΑΓΓ. Πενθεὺς ὄλωλε, παῖς Ἐχίονος πατρός.
ΧΟ. ἄναξ ὦ Βρόμιε· θεὸς φαίνει μέγας.
ΑΓΓ. πῶς φῄς; τί τοῦτ' ἔλεξας; ἦ ἐπὶ τοῖς ἐμοῖς
χαίρεις κακῶς πράσσουσι δεσπόταις, γύναι;
ΧΟ. εὐάζω ξένα μέλεσι βαρβάροις·
οὐκέτι γὰρ δεσμῶν ὑπὸ φόβῳ πτήσσω.
ΑΓΓ. Θήβας δ' ἀνάνδρους ὧδ' ἄγεις * * * *;
ΧΟ. ὁ Διόνυσος ὁ Διὸς παῖς, οὐ Θῆβαι
κράτος ἔχουσ' ἐμόν.
ΑΓΓ. συγγνωστὰ μέν σοι, πλὴν ἐπ' ἐξειργασμένοις
κακοῖσι χαίρειν, ὦ γυναῖκες, οὐ καλόν.
ΧΟ. ἔννεπέ μοι, φράσον, τίνι μόρῳ θνήσκει
ἄδικος ἄδικά τ' ἐκπορίζων ἀνήρ;
ΑΓΓ. ἐπεὶ θεράπνας τῆσδε Θηβαίας χθονὸς
λιπόντες ἐξέβημεν Ἀσωποῦ ῥοάς,
λέπας Κιθαιρώνειον εἰσεβάλλομεν

λωτός, ὡς ἐμοί, ποτε . . καὶ νῦν ἀφεῖται πάντα.

1026. δράκων ὄφις (Lint-Wurm) wie σῦς κάπρος, ταῦρος βοῦς, ὄρνις αἰγυπιός bei Homer, κύκνου μορφώματ' ὄρνιθος Hel. 19, ὄρνις ἀλκυών Iph. T. 1089, unten 1365; denn γένος μὲν ὁ ὄφις, εἶδος δὲ ὁ δράκων Schol. Orest. 479. — ἐν γύαις nach γηγενές wie Phoen. 667 γαπετεῖς δικὼν ὀδόντας εἰς βαθυσπόρους γύας.

1028. Aus Med. 54. Vgl. Or. 1023 οὐ . . στέρξεις τὰ κρανθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως, Aristoph. Ach. 956 πάντως μὲν οἴσεις οὐδὲν ὑγιές, ἀλλ' ὅμως.

1029. Die Fragen sind gegeben wie Heracl. 481 ὦ παῖ, τί μοι σύννοιαν ὄμμασιν φέρων ἥκεις; νέον τι πολεμίων λέξεις πέρι; — ἐκ Βακχῶν, was von den Bacchen ausgeht.

1030. παῖς πατρός nach einer im Griechischen gewöhnlichen Redeweise: vgl. Tro. 723 λέξας ἀρίστου παῖδα μὴ τρέφειν πατρός, Soph. El. 341 πατρὸς οὗ σὺ παῖς ἔφυς, Phil. 3 ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφείς.

1034. ξένα μέλεσι βαρβάροις wie ξένα μέλεσι ξένοις (55) ohne Beziehung auf die Beschaffenheit des Liedes. Anders Iph. T. 180 Ἀσιήταν βάρβαρον ἀχάν.

1035. πτήσσω d. h. werde niedergedrückt.

1036. Vgl. Soph. O. C. 917 καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ ἔδοξας εἶναι κἄμ' ἴσον τῷ μηδενί. ἄγεις wie Soph. O. T. 775 ἠγόμην δ' ἀνὴρ ἀστῶν μέγιστος. Der Gedanke 'dass es solchen Hohn gegen seinen Fürsten ruhig sich gefallen liesse' füllte noch einen zweiten Vers aus (z. B. ἄγεις, σῆς ὥστε μὴ | ὕβρεως φοβεῖσθαι λεύσιμον τιμωρίαν;).

1038. ἐμόν (über mich): Krueg. I § 47, 7, 8.

1041. τίνι μόρῳ θνήσκει; Ebenso Hec. 695, Soph. O. C. 1656 μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετο κτέ.

1043. θεράπναι: αὐλῶνες, σταθμοί Hesych.

